...ци игоди ... брату и матери
...и и брату ...налиу и себе
//

...вань стрини ... дивни
//

оцу ...брашину и матери цвети
и брату Костаипу и брату Вучети //

...мпраиси оцу Воину на ...гли
и себе ...уница по ... // и брату
// ... ... апри и брату Вучетию
...леиси по а ... ю и себе вдица по а
...спеи по а ...ю //

Макьрашыси оцу Воину
...ан и себе и вуници и вулетпи
...исоли и го...ници Мапан...

Господарица ... ина Даница
Господарица Млаепова матери
Живани по //

[illegible]

оцу а...иму и матери Смилиани
// и паки ...

[illegible]

ѿцꙋ атимꙋ и матери смилꙗни
// и паісіи иванъ ѿцꙋ атнмꙋ
по а҃ ч҃ю //

старн себе по м҃ ѿ //
радень ѿцꙋ мандиꙋ
и себе мена и блб и таяію
и мариꙗ и пронь по блгє
и іс нови
абоганьлина ѿцꙋ томашꙋ
ни и себе рага по є҃ лна ѿ //

ꙋісана ісило ж ѿцꙋ драго
и смилꙗни и себе пѣтра

ꙋгалова ѿцꙋ ѿгнѧнꙋ
ию ѿ

по і п҃ ... мсто и мар...
и радиши . е҃ и твоꙁено
радовань и живкꙋ и
и ивлп ... по по в҃ н҃а и г
милии и аноши с҃тани
по а҃ ч҃аю ӻ҃ //

п҃на нинько и илїа вола о҃
п҃о и себе илїа п҃о м҃ ӻ //

п҃на стамена велимир
н... стои и степании и со

п҃на велимирь о҃цꙋ милошу
чи станимени п҃о м҃ и пре
и паки стамена тери сте
// и паки стамена с...
панїн

... ꙁ ...

...

Εἰς ἱεράρχ(ας)· [illegible]

ἀλλ' ἀφεύξονται ἀπ' αὐτοῦ ὅτι οὐκ οἴ
δασι τῶν ἀλλοτρίων τὴν φωνήν.
ταύτην τὴν παροιμίαν εἶπεν αὐ
τοῖς ὁ Ἰ(ησοῦ)ς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τί
να ἦν ἃ ἐλάλει αὐτοῖς· εἶπεν οὖν πάλ(ιν)
αὐτοῖς ὁ Ἰ(ησοῦ)ς· ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι
ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων· πάν(τες)
ὅσοι ἦλθον πρὸ ἐμοῦ κλέπται εἰσὶ καὶ
λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρό
βατα· ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις
εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται
καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει. ὁ
κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ
θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν
ἔχωσι καὶ περισσὸν ἔχωσιν· ἐγώ εἰμι ὁ
ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς
τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν
προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν
ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα
ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον
καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει·
καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει
τὰ πρόβατα· ὁ δὲ μισθωτὸς φεύγει
ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ

Ἰω(άννου)· τῇ παρα(σκευῇ) τῆς ϛ' ἑβδ(ομάδος)· εἶπεν ὁ κ(ύριο)ς πρὸς τοὺς ἐληλυθότας πρὸς
αὐτὸν Ἰουδαίους·

περὶ τῶν προβάτων· ἐγώ εἰμι ὁ ποι-
μὴν ὁ καλός· καὶ γινώσκω τὰ ἐμὰ καὶ
γινώσκομαι ὑπὸ τῶν ἐμῶν· καθὼς
ϛι γινώσκει με ὁ πατήρ· κἀγὼ γινώσκω τὸν
πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ
ϛα τῶν προβάτων· καὶ ἄλλα πρόβατα
ϙε ἔχω ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης·
κἀκεῖνά με δεῖ ἀγαγεῖν καὶ τῆς φωνῆς
μου ἀκούσουσι· καὶ γενήσεται μία
ποίμνη εἷς ποιμήν· διὰ τοῦτό με
ὁ πατὴρ ἀγαπᾷ ὅτι ἐγὼ τίθημι τὴν
ψυχήν μου ἵνα πάλιν λάβω αὐτήν·
οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ· ἀλλ' ἐγὼ τίθημι
αὐτὴν ἀπ' ἐμαυτοῦ· ἐξουσίαν ἔχω θεῖναι
αὐτήν· καὶ ἐξουσίαν πάλιν λαβεῖν αὐτήν·
ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ
τοῦ πατρός μου· σχίσμα οὖν πάλιν ἐγέ-
νετο ἐν τοῖς Ἰουδαίοις διὰ τοὺς λόγους
τούτους· ἔλεγον δὲ πολλοὶ ἐξ αὐτῶν·
δαιμόνιον ἔχει καὶ μαίνεται· τί αὐτοῦ
ἀκούετε· ἄλλοι ἔλεγον· ταῦτα τὰ ῥήματα
οὐκ ἔστι δαιμονιζομένου· μὴ δαιμόνιον
δύναται τυφλῶν ὀφθαλμοὺς ἀνοῖξαι;
ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν Ἱεροσολύμοις

[illegible]

καὶ χειμὼν ἦν· καὶ περιεπάτει ὁ
ἰησοῦς ἐν τῷ ἱερῷ ἐν τῇ στοᾷ σολομῶντος·
Ἐκύκλωσαν οὖν αὐτὸν οἱ ἰουδαῖοι
καὶ ἔλεγον αὐτῷ· ἕως πότε τὴν ψυχὴν
ἡμῶν αἴρεις· εἰ σὺ εἶ ὁ χριστός, εἰπὲ ἡμῖν
παρρησίᾳ· ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς·
Εἶπον ὑμῖν καὶ οὐ πιστεύετε· τὰ ἔργα
ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου,
ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ· ἀλλ' ὑμεῖς
οὐ πιστεύετε· οὐ γὰρ ἐστὲ ἐκ τῶν προβά-
των ἐμῶν καθὼς εἶπον ὑμῖν· τὰ
πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου
ἀκούει· κἀγὼ γινώσκω αὐτὰ καὶ ἀ-
κολουθοῦσί μοι· κἀγὼ ζωὴν αἰώνιον δίδωμι
αὐτοῖς· καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα·
καὶ οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου·
ὁ πατήρ μου ὃς δέδωκέ μοι, μείζων πάντων
ἐστί· καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ
τῆς χειρὸς τοῦ πατρός μου· ἐγὼ καὶ ὁ πατὴρ
ἕν ἐσμεν· ἐβάστασαν οὖν λίθους πάλιν
οἱ ἰουδαῖοι ἵνα λιθάσωσιν αὐτόν·
ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς· πολλὰ καλὰ
ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου·
διὰ ποῖον αὐτῶν ἔργον λιθάζετέ με·

ἀπεκρίθησαν αὐτῷ οἱ ἰουδαῖοι λέγοντες·
περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε·
ἀλλὰ περὶ βλασφημίας· καὶ ὅτι σὺ
ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν· ἀπε-
κρίθη αὐτοῖς ὁ ἰησοῦς· οὐκ ἔστι γεγραμμέ-
νον ἐν τῷ νόμῳ ὑμῶν· ἐγὼ εἶπα θεοί
ἐστε; εἰ ἐκείνους εἶπε θεοὺς πρὸς οὓς ὁ
λόγος τοῦ θεοῦ ἐγένετο· καὶ οὐ δύναται
λυθῆναι ἡ γραφή· ὃν ὁ πατὴρ ἡγίασε καὶ
ἀπέστειλεν εἰς τὸν κόσμον ὑμεῖς λέ-
γετε ὅτι βλασφημεῖς ὅτι εἶπον υἱὸς
τοῦ θεοῦ εἰμι; εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ
πατρός μου μὴ πιστεύετέ μοι· εἰ δὲ ποι-
ῶ κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις
πιστεύσατε· ἵνα γνῶτε καὶ πιστεύσητε
ὅτι ἐν ἐμοὶ ὁ πατὴρ κἀγὼ ἐν αὐτῷ· ἐζή-
τουν πάλιν αὐτὸν πιάσαι· καὶ ἐξῆλθεν
ἐκ τῆς χειρὸς αὐτῶν· καὶ ἀπῆλθε πάλιν
πέραν τοῦ ἰορδάνου εἰς τὸν τόπον
ὅπου ἦν ὁ ἰωάννης τὸ πρῶτον βα-
πτίζων· καὶ ἔμεινεν ἐκεῖ· καὶ πολλοὶ
ἦλθον πρὸς αὐτόν· καὶ ἔλεγον ὅτι ἰω-
άννης μὲν σημεῖον ἐποίησεν οὐδέν· πά-
ντα δὲ ὅσα εἶπεν ἰωάννης περὶ τούτου

ἀληθῆ ἦν· καὶ ἐπίστευσαν πολλοὶ
ἀρχ(ή) ἐκεῖ εἰς αὐτόν· ἦν δέ τις ἀσθενῶν λά-
ζαρος ἀπὸ βηθανίας· ἐκ τῆς κώμης
μαρίας καὶ μάρθας τῆς ἀδελφῆς λθ
αὐτῆς· ἦν δὲ μαρία ἡ ἀλείψασα τὸν
κ(ύριο)ν μύρῳ· καὶ ἐκμάξασα τοὺς πό-
δας αὐτοῦ ταῖς θριξὶ τῆς κεφαλῆς
αὐτῆς· ἧς ὁ ἀδελφὸς λάζαρος ἠσθέ-
νει· ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ πρὸς
αὐτὸν λέγουσαι· κ(ύρι)ε ἴδε ὃν φιλεῖς ἀσθενεῖ·
ἀκούσας δὲ ὁ ἰ(ησοῦ)ς εἶπεν· αὕτη ἡ ἀσθένεια
οὐκ ἔστι πρὸς θάνατον· ἀλλ' ὑπὲρ τῆς
δόξης τοῦ θ(εο)ῦ· ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ
θ(εο)ῦ δι' αὐτῆς· ἠγάπα δὲ ὁ ἰ(ησοῦ)ς τὴν μάρ-
θαν καὶ τὴν ἀδελφὴν αὐτῆς καὶ τὸν
λάζαρον· ὡς οὖν ἤκουσεν ὅτι ἀσθε-
νεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τό-
πῳ δύο ἡμέρας· ἔπειτα μετὰ τοῦτο λέγει
τοῖς μαθηταῖς· ἄγωμεν εἰς τὴν ἰου-
δαίαν πάλιν· λέγουσιν αὐτῷ οἱ μα-
θηταί· ῥαββί, νῦν ἐζήτουν σε λι-
θάσαι οἱ ἰουδαῖοι· καὶ πάλιν ὑπάγεις
ἐκεῖ; ἀπεκρίθη ὁ ἰ(ησοῦ)ς· οὐχὶ δώδεκα ὧραι
εἰσὶ τῆς ἡμέρας· ἐάν τις περιπατῇ

ἐν τῇ ἡμέρᾳ οὐ προσκόπτει, ὅτι τὸ
φῶς τοῦ κόσμου τούτου βλέπει·
ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτὶ
προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν
αὐτῷ. ταῦτα εἶπε καὶ μετὰ τοῦτο
λέγει αὐτοῖς· Λάζαρος ὁ φίλος ἡμῶν
κεκοίμηται· ἀλλὰ πορεύομαι ἵνα ἐξυ-
πνίσω αὐτόν. εἶπον οὖν οἱ μαθη-
ταὶ αὐτοῦ· κύριε, εἰ κεκοίμηται σωθήσεται.
εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐ-
τοῦ· ἐκεῖνοι δὲ ἔδοξαν ὅτι περὶ τῆς
κοιμήσεως τοῦ ὕπνου λέγει. τότε
οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παρρησίᾳ· Λά-
ζαρος ἀπέθανε· καὶ χαίρω δι' ὑμᾶς ἵνα
πιστεύσητε ὅτι οὐκ ἤμην ἐκεῖ· ἀλλ'
ἄγωμεν πρὸς αὐτόν. εἶπεν οὖν Θω-
μᾶς ὁ λεγόμενος Δίδυμος τοῖς συμ-
μαθηταῖς· ἄγωμεν καὶ ἡμεῖς ἵνα
ἀποθάνωμεν μετ' αὐτοῦ. ἐλθὼν οὖν
ὁ Ἰησοῦς εὗρεν αὐτὸν τέσσαρας ἡμέρας
ἤδη ἔχοντα ἐν τῷ μνημείῳ. ἦν δὲ
ἡ Βηθανία ἐγγὺς τῶν Ἱεροσολύμων
ὡς ἀπὸ σταδίων δεκαπέντε. καὶ
πολλοὶ ἐκ τῶν Ἰουδαίων ἐληλύθησαν

πρὸς τὰς περὶ μάρθαν καὶ μαρίαν
ἵνα παραμυθήσωνται αὐτὰς περὶ
τοῦ ἀδελφοῦ αὐτῶν· ἡ οὖν μάρθα
ὡς ἤκουσεν ὅτι ὁ ἰησοῦς ἔρχεται, ὑπήντη-
σεν αὐτῷ· μαρία δὲ ἐν τῷ οἴκῳ
ἐκαθέζετο· εἶπεν οὖν μάρθα
πρὸς τὸν ἰησοῦν· κύριε εἰ ἦς ὧδε, ὁ ἀδελ-
φός μου οὐκ ἂν ἐτεθνήκει· ἀλλὰ καὶ
νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν θεὸν,
δώσει σοι ὁ θεός· λέγει αὐτῇ ὁ ἰησοῦς· ἀνα-
στήσεται ὁ ἀδελφός σου· λέγει αὐτῷ
μάρθα· οἶδα ὅτι ἀναστήσεται ἐν τῇ
ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· εἶπεν
αὐτῇ ὁ ἰησοῦς· ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ
ζωή· ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθά-
νῃ ζήσεται· καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων
εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα·
πιστεύεις τοῦτο; λέγει αὐτῷ· ναὶ κύριε·
ἐγὼ πεπίστευκα ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς
τοῦ θεοῦ ὁ εἰς τὸν κόσμον ἐρχόμενος·
καὶ ταῦτα εἰποῦσα, ἀπῆλθε καὶ ἐ-
φώνησε τὴν ἀδελφὴν αὐτῆς λάθρα
εἰποῦσα· ὁ διδάσκαλος πάρεστι καὶ
φωνεῖ σε· ἐκείνη ὡς ἤκουσεν ἐγείρεται

ταχὺ καὶ ἔρχεται πρὸς αὐτόν· οὔπω δὲ
ἐληλύθει ὁ ἰς εἰς τὴν κώμην· ἀλλ' ἦν
ἐν τῷ τόπῳ ὅπου ὑπήντησεν αὐτῷ
ἡ μάρθα· οἱ οὖν ἰουδαῖοι οἱ ὄντες μετ' αὐ-
τῆς ἐν τῇ οἰκίᾳ καὶ παραμυθούμενοι
αὐτήν, ἰδόντες τὴν μαριὰμ ὅτι
ταχέως ἀνέστη καὶ ἐξῆλθεν. ἠκο-
λούθησαν αὐτῇ· δόξαντες ὅτι ὑπά-
γει εἰς τὸ μνημεῖον ἵνα κλαύσῃ ἐκεῖ.
ἡ οὖν μαριὰμ ὡς ἦλθεν ὅπου ἦν ὁ ἰς·
ἰδοῦσα αὐτὸν, ἔπεσεν αὐτοῦ εἰς τοὺς
πόδας λέγουσα αὐτῷ· κε εἰ ἦς ὧδε,
οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός. ἰς
οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν καὶ
τοὺς συνελθόντας αὐτῇ ἰουδαίους
κλαίοντας, ἐνεβριμήσατο τῷ πνι·
καὶ ἐτάραξεν ἑαυτὸν καὶ εἶπε· ποῦ τε-
θείκατε αὐτόν· λέγουσιν αὐτῷ· κε
ἔρχου καὶ ἴδε. ἐδάκρυσεν ὁ ἰς. ἔ-
λεγον οὖν οἱ ἰουδαῖοι· ἴδε πῶς ἐφίλει
αὐτόν· τινὲς δὲ ἐξ αὐτῶν εἶπον· οὐκ
ἠδύνατο οὗτος ὁ ἀνοίξας τοὺς ὀ-
φθαλμοὺς τοῦ τυφλοῦ ποιῆσαι ἵνα
καὶ οὗτος μὴ ἀποθάνῃ; ἰς οὖν πάλ

ἐμβριμώμενος ἐν ἑαυτῷ ἔρχεται
εἰς τὸ μνημεῖον· ἦν δὲ σπήλαιον καὶ
λίθος ἐπέκειτο ἐπ' αὐτῷ· λέγει ὁ Ἰησοῦς·
ἄρατε τὸν λίθον· λέγει αὐτῷ ἡ ἀδελ-
φὴ τοῦ τεθνηκότος Μάρθα· κύριε ἤδη
ὄζει· τεταρταῖος γάρ ἐστι· λέγει αὐτῇ
ὁ Ἰησοῦς· οὐκ εἶπόν σοι ὅτι ἐὰν πιστεύσῃς ὄψῃ
τὴν δόξαν τοῦ θεοῦ· ἦραν οὖν τὸν λίθον
οὗ ἦν ὁ τεθνηκὼς κείμενος· ὁ δὲ Ἰησοῦς ἦρε
τοὺς ὀφθαλμοὺς ἄνω καὶ εἶπε· πάτερ εὐ-
χαριστῶ σοι ὅτι ἤκουσάς μου· ἐγὼ δὲ
ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις·
ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα
εἶπον ἵνα πιστεύσωσιν ὅτι σύ με
ἀπέστειλας· καὶ ταῦτα εἰπὼν φωνῇ
μεγάλῃ ἐκραύγασε· Λάζαρε δεῦρο ἔξω·
καὶ ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος
τὰς χεῖρας καὶ τοὺς πόδας κειρίαις·
καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο·
λέγει αὐτοῖς ὁ Ἰησοῦς· λύσατε αὐτὸν καὶ
ἄφετε ὑπάγειν· πολλοὶ οὖν ἐκ τῶν
Ἰουδαίων οἱ ἐλθόντες πρὸς τὴν
Μαρίαν καὶ θεασάμενοι ἃ ἐποίησεν
ὁ Ἰησοῦς ἐπίστευσαν εἰς αὐτόν· τινὲς δὲ

ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς φαρισαί-
ους καὶ εἶπον αὐτοῖς ἃ ἐποίησεν ὁ ἰς.
Συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ φαρι-
σαῖοι συνέδριον κατὰ τοῦ ἰυ. καὶ ἔλεγον·
τί ποιοῦμεν ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ
σημεῖα ποιεῖ. ἐὰν ἀφῶμεν αὐτὸν
οὕτως, πάντες πιστεύσουσιν εἰς αὐτόν.
καὶ ἐλεύσονται οἱ ῥωμαῖοι καὶ ἀροῦσιν
ἡμῶν καὶ τὴν πόλιν καὶ τὸ ἔθνος. εἷς
δέ τις ἐξ αὐτῶν καϊάφας ἀρχιερεὺς
ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς·
ὑμεῖς οὐκ οἴδατε οὐδέν, οὐδὲ διαλογί-
ζεσθε ὅτι συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος
ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ· καὶ μὴ
ὅλον τὸ ἔθνος ἀπόληται. τοῦτο δὲ
ἀφ' ἑαυτοῦ οὐκ εἶπεν· ἀλλὰ ἀρχιε-
ρεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, προε-
φήτευσεν· ὅτι ἔμελλεν ὁ ἰς ἀποθνή-
σκειν ὑπὲρ τοῦ ἔθνους· καὶ οὐχ ὑπὲρ τοῦ
ἔθνους μόνον· ἀλλ' ἵνα καὶ τὰ τέκνα
τοῦ θυ τὰ διεσκορπισμένα συναγάγῃ
εἰς ἕν. ἀπ' ἐκείνης οὖν τῆς ἡμέρας
ϛε συνεβουλεύσαντο ἵνα ἀποκτείνωσιν
αὐτόν. ἰς οὖν οὐκ ἔτι παρρησίᾳ περι-

τ γ τ ϛ ε β: ὡς συμβούλιον ἐποίησαν οἱ
φαρισαῖοι κατὰ τοῦ ἰυ̅· ἐξῆλθον πρὸς αὐτόν·

Εἰς τὴν ἑορτὴν ἀκούσαντες ὅτι ἔρ-
χεται ὁ ἰς̅ εἰς ἱεροσόλυμα. ἔλαβον
τὰ βαΐα τῶν φοινίκων· καὶ ἐξῆλθ(ον)
εἰς ἀπάντησιν αὐτῷ. καὶ ἔκραζον· ὡσ-
αννὰ εὐλογημένος ὁ ἐρχόμενος ἐν
ὀνόματι κυ̅ ὁ βασιλεὺς ἰηλ̅. εὑρὼν δὲ ρα
ὁ ἰς̅ ὀνάριον. ἐκάθισεν ἐπ' αὐτό κα-
θώς ἐστι γεγραμμένον· μὴ φοβοῦ θύ-
γατερ σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρ-
χεται καθήμενος ἐπὶ πῶλον ὄνου ϛϛ
ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ
αὐτοῦ τὸ πρῶτον· ἀλλ' ὅτε ἐδοξάσθη
ὁ ἰς̅ τότε ἐμνήσθησαν ὅτι ταῦτα
ἦν ἐπ' αὐτῷ γεγραμμένα· καὶ ταῦτ(α)
ἐποίησαν αὐτῷ. ἐμαρτύρει οὖν ὁ
ὄχλος ὁ ὢν μετ' αὐτοῦ ὅτε τὸν λά-
ζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου
καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· διὰ τοῦτο
καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος· ὅτι ἤ-
κουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ
σημεῖον. οἱ οὖν φαρισαῖοι εἶπον
πρὸς ἑαυτούς· θεωρεῖτε ὅτι οὐκ ὠ-
φελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω
αὐτοῦ ἀπῆλθεν. ἦσαν δέ τινες ἕλλην(ες)

Ιω: [illegible] ξυ: [illegible] ἀρχ [illegible]
[illegible] φιλ:

Ἐκ τῶν ἀναβαινόντων ἵνα
προσκυνήσωσιν ἐν τῇ ἑορτῇ· οὗτοι
οὖν προσῆλθον φιλίππῳ τῷ ἀπὸ
βηθσαϊδὰ τῆς γαλιλαίας· καὶ ἠρώτων
αὐτὸν λέγοντες· κε θέλομεν τὸν ιν
ἰδεῖν· ἔρχεται φίλιππος καὶ λέγει
τῷ ἀνδρέᾳ· καὶ πάλιν ἀνδρέας καὶ
φίλιππος λέγουσι τῷ ιυ· ὁ δὲ ις ἀπε-
ργ κρίνατο αὐτοῖς λέγων· ἐλήλυθεν ἡ
ρδ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ανου·
ἀμὴν ἀμὴν λέγω ὑμῖν· ἐὰν μὴ ὁ κόκκος
τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ
αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ
πολὺν καρπὸν φέρει· ὁ φιλῶν τὴν
ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν· καὶ ὁ
ρε μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ
τούτῳ εἰς ζωὴν αἰώνιον φυλάξει
αὐτήν· ἐὰν ἐμοὶ διακονῇ τις. ἐμοὶ
ρς ἀκολουθείτω· καὶ ὅπου εἰμὶ ἐγώ. ἐκεῖ
καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· καὶ ἐάν τις
ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ πατήρ·
ρζ νῦν ἡ ψυχή μου τετάρακται καὶ τί εἴπω·
πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης;
ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν

ὑπάγω οἴδατε καὶ τὴν ὁδὸν οἴδατε·
λέγει αὐτῷ θωμᾶς· κύριε· οὐκ οἴδαμεν
ποῦ ὑπάγεις καὶ πῶς δυνάμεθα
τὴν ὁδὸν εἰδέναι· λέγει αὐτῷ ὁ ἰησοῦς·
ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ
ζωή· οὐδεὶς ἔρχεται πρὸς
τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ· εἰ ἐγνώκει
τέ με, καὶ τὸν πατέρα μου ἐγνώκειτε
ἄν· καὶ ἀπάρτι γινώσκετε αὐτὸν· καὶ
ἑωράκατε αὐτόν· λέγει αὐτῷ φίλι
ππος· κύριε· δεῖξον ἡμῖν τὸν πατέρα καὶ ἀρ
κεῖ ἡμῖν· λέγει αὐτῷ ὁ ἰησοῦς· τοσοῦτον
χρόνον μεθ' ὑμῶν εἰμι καὶ οὐκ ἔγνω
κάς με φίλιππε; ὁ ἑωρακὼς ἐμὲ
ἑώρακε τὸν πατέρα· καὶ πῶς σὺ λέγεις
δεῖξον ἡμῖν τὸν πατέρα· οὐ πιστεύεις
ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι;
τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐ
μαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ
μένων, αὐτὸς ποιεῖ τὰ ἔργα· πι
στεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ
ἐν ἐμοί· εἰ δὲ μὴ διὰ τὰ ἔργα αὐτὰ
πιστεύετέ μοι· ἀμὴν ἀμὴν λέγω ὑμῖν·
ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ

κἀκεῖνος ποιήσει· καὶ μείζονα τού-
των ποιήσει· ὅτι ἐγὼ πρὸς τὸν πατέρα
μου πορεύομαι· καὶ ὅ τι ἐὰν αἰτή-
σητε ἐν τῷ ὀνόματί μου· τοῦτο
ποιήσω· ἵνα δοξασθῇ ὁ πατὴρ ἐν
τῷ υἱῷ· ἐάν τι αἰ-τήσητε
ρπ ἐν τῷ ὀνόματί μου ἐγὼ ποιήσω.
Ἐὰν ἀγαπᾶτέ με τὰς ἐντολὰς τὰς
ἐμὰς τηρήσατε· καὶ ἐγὼ ἐρωτήσω
τὸν πατέρα καὶ ἄλλον παράκλητον
δώσει ὑμῖν ἵνα μένῃ μεθ' ὑμῶν εἰς
τὸν αἰῶνα· τὸ πνεῦμα τῆς ἀληθείας
ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν· ὅτι
οὐ θεωρεῖ αὐτό· οὐδὲ γινώσκει αὐτό·
ὑμεῖς δὲ γινώσκετε αὐτό ὅτι παρ' ὑ-
μῖν μένει καὶ ἐν ὑμῖν ἔσται· οὐκ ἀφή-
σω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς
ὑμᾶς· ἔτι μικρὸν καὶ ὁ κόσμος με
οὐκέτι θεωρεῖ· ὑμεῖς δὲ θεωρεῖτέ με·
ὅτι ἐγὼ ζῶ καὶ ὑμεῖς ζήσεσθε· ἐν ἐκεί-
νῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ
ἐν τῷ πατρί μου καὶ ὑμεῖς ἐν ἐμοί· κ-
κβ ἀγὼ ἐν ὑμῖν· ὁ ἔχων τὰς ἐντολάς μου
καὶ τηρῶν αὐτάς· ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με·

διχῶν [illegible] λυπήσας· οὐδὲ
αὐτὸν τὸν θεὸν τιμᾷ· οὐ-
δὲ προσέχει αὐτῷ ὅλως· οἱ ἀδελφοὶ
ποτε εὖ τὸ λοιπόν· διὰ τοῦτο οὐ-
δὲν δεινότερον τῆς παρρη-
σίας· διὰ τοῦτο γὰρ μήτηρ
ἐστὶ τῶν παθῶν, ὥσπερ καὶ
ἐκ μακρᾶς τὴν εὐλάβειαν· ἐ-
πειδὴ ἐξωθεῖ καὶ τὸν φόβον
τοῦ θεοῦ· ἐπειδὴ ἡ μὲν αὐτὴ
καταφρονεῖν ἐκ τοῦ χείρ-
ονας παρρησίαν μετὰ ἀλλή-
λων· καὶ ἀναδείκνυσθαι πε-
ἀλλήλους [illegible] καὶ λαλεῖν ἀλ-
λήλοις κακῶς· καὶ πάλιν
ἀπὸ μὲν ἀλλήλοις· ἰσαάκ·

Μακάριος ἄνθρωπος ὁ γινώσκων
τὴν ἑαυτοῦ ἀσθένειαν· διότι

αὕτη ἡ ἐπίγνωσις ἔσται αὐ-
τῷ θεμέλιος καὶ ἀρχή. ὁ-
ταν γὰρ μάθῃ τις ἐν ἀληθεί-
ᾳ καὶ αἰσθηθῇ τῆς ἑαυτοῦ ἀ-
σθενείας, τηνικαῦτα περι-
σφίγγει τὴν ἑαυτοῦ ψυχὴν
ἀπὸ τῆς χαυνότητος τῆς
ἀμαυρούσης τὴν γνῶσιν.
καὶ θησαυρίζει ἑαυτῷ πα-
ραφυλακήν. οὐδεὶς δὲ
δύναται αἰσθανέσθαι τῆς
ἑαυτοῦ ἀσθενείας, ἐὰν μὴ
μικρὸν παραχωρηθῇ πει-
ρασθῆναι, ἢ ἐν τοῖς κατα-
πονοῦσι τὸ σῶμα ἢ τὴν ψυ-
χήν. τότε γὰρ συγκρίνας τὴν
ἑαυτοῦ ἀσθένειαν τῇ τοῦ
θῦ βοηθείᾳ, τηνικαῦτα

τιμῶσθαι τὴν αὐτῆς μεγαλω
σύνην· Ἄμα ταπεινώσει,
οὐ δύναται τελειωθῆναι τὸ
ἔργον τοῦ ἁγίου· καὶ οὐδέπω μὲν
ἐπετέθη τῷ γραμματείῳ τῆς
ἐλευθερίας αὐτοῦ ἡ σφραγὶς
τοῦ πνς· μᾶλλον δὲ ἕως τοῦ
νῦν δοῦλος ὑπάρχει· καὶ τὸ
ἔργον αὐτοῦ ἐκ περιθέσει
τοῦ φόβου· καθότι οὐ διορ
θοῦταί τις τὸ ἔργον αὐτοῦ ὠ
μα ταπεινώσεως· καὶ οὐ
παιδεύεται εἰ μὴ διὰ τῶν πειρασ
μῶν· καὶ ἄνευ παιδείας,
τὴν ταπείνωσιν οὐ κατα
λαμβάνει· διὰ τοῦτο ἀφίη
σιν ὁ κς αἰτίας ταπεινώσεως
καὶ συντριμμοῦ καρδίας
δι' ἐμποδισμοῦ προσευχῆς

· ἐν τοῖς ἁγίοις· καὶ πολλάκ(ις)
ἐκφοβεῖ αὐτοὺς τοῖς πάθεσι
τῆς φύσεως· καὶ διοχλϊαθή-
μασιν ἀχρείων καὶ μιαρῶν
ἐνθυμήσεων· πολλάκις δὲ
καὶ δι' ὀνειρέων καὶ ἀνέμων
κολαφισμῶν· ἐνίοτε δὲ νό-
σοις καὶ ἀρρωστήμασι σωμα-
τικοῖς· καὶ ἄλλοτε πτωχείᾳ
καὶ ἐν ἐνδείᾳ τῆς ἀναγκαίας χρείας·
καὶ ποτὲ μὲν φόνοις πόμου
δεινοῦ· καὶ ἐγκαταλείπει· καὶ
πολέμῳ φανερῷ τοῦ διαβόλου
δι' ὧν αὐτὸς οἶδεν ἐκφοβεῖν·
ποτὲ δὲ διαφόροις πράγμα-
σι· καὶ ταῦτα πάντα γίνεται,
ἵνα ἀχθῶσιν αἰτίας τοῦ ταπει-
νωθῆναι· καὶ ἵνα μὴ ὑπερβῇ

αὐτοῖς ὅτι τῆς ἀμελείας μου πειρασ-
μός. ἢ χάριν τῶν πειρασμάτων
ἐν οἷς εὑρίσκεται ἀμελήσας ὁ αὐ-
πωρίσης, ἢ διὰ τὸν φόβον τὸν
μέλλοντα. ὥστε ἐξ ἀνάγκης
οἱ πειρασμοὶ ἐπωφελεῖς εἰσὶ
τοῖς ἀνθρώποις. πᾶς δὲ ἐπιγνοὺς
τὸ ἑαυτοῦ ἀσθενές, ἐξ ἀνάγκης
δέεται τοῦ ταπεινωθῆναι· ἵ-
να ἀρύσῃ τὴν ἑαυτοῦ χρείαν
παρὰ τοῦ δυναμένου βοηθῆσαι.
καὶ εἰ μὴ ἐξ ἀρχῆς ἐπιγνοὺς καὶ
ἀσφαλισάμενος τὴν ἑαυτοῦ ἀσθέ-
νειαν, οὐκ ἂν ἠμέλησε καὶ ὕ-
πνωσε. καὶ παρεδόθη εἰς
χεῖρας τῶν θλιβόντων αὐτὸν
τοῦ ἐξυπνίσαι αὐτόν. λοιπὸν
περιέπεσε τῷ πορευομένῳ ὀρθῶς
τὴν ὁδὸν τοῦ θεοῦ, ἀχαριστῆσαι

αὐτῶ δὲ πᾶσι τοῖς ἐπερχο-
μένοις αὐτῶ καὶ μέμψασ-
θαι καὶ καθυβρίσαι τὴν ἑ-
αυτοῦ τύχην· καὶ σημειῶμαι ὅ-
τι οὐκ ἂν παρεχωρήθη ὑ-
πὸ τοῦ προνοοῦντος, εἰ μὴ δι-
ὰ τὴν ἀμέλειαν ἡμᾶς ἐξυπνισ-
θῆ· ἢ διότι πετύφωται· καὶ
μὴ θορυβηθῇ διὰ τοῦτο·
μηδὲ ἐκπηδήσῃ· ἵνα μὴ
διπλοῦν γένηται αὐτῷ τὸ
κακόν· διότι οὐκ ἔστι παρὰ
μκ / τῷ κρίνοντι θεῷ τὴν δικαιο-
κλι σύνην ἀδικία· μὴ γένοιτο:·

Ὑψηλόφρων μοναχός, ἀντι-
λέγει σοφοῖς· ὁ δὲ ταπει-
νόφρων, οὐδὲ ἀντιλέγειν

ἐπισπᾶται· οὐχ ὑπὸ κλίματος κυ
πορίας ὅς ἐστιν περὶ πάντων·
οὐδὲ μοναχὸς εὐτυχοκάρδιος
ὑπακολωκτήσασθαι:
Ἀδελφοί· ὡς ἔχομεν ὀργὴν καὶ
προσέχομεν ἑαυτοῖς· ὅτι γε
ταράκτεται τῷ συμπαθοῦνται· καὶ
ἀσκήσωμεν τὸ σιωπᾶν· καὶ
ἐὰν θέλῃς ἀναπαύεσθαι, γε-
νοῦ νεκρὸς ἀπὸ παντὸς ἀνου
καὶ ἀναπαύσῃ· μόνον ὅτι
καὶ περὶ τῶν λογισμῶν καὶ
περὶ παντὸς πράγματος καὶ
διαγωγῆς καὶ φροντίδος λέ-
γω σοι ἢ σὺ χαίρω σοὶ ἐν ὑπεξέκμῃ:
Τί ἐστι τὸ ἀτήφιασον· τὸ ἀτή-
φιασον ἐστί, τὸ μὴ ἰσῶσαι ἑ-
αυτὸν τινί· καὶ τὸ μὴ ὑπὲρ

περὶ καλοῦ ἔργου ὅτι κἀγὼ
τοῦτο ἐποίησα :: Ἰσίδωρ(ος) ::
Εἶ(πε) μοι τὶς μετρίαν ὠφέλησιν, ἢ κα-
ταμόνας προσέθηκεν ἀνα-
χώρησις. ὁ γὰρ ἐν μέσῳ θορύ-
βων στρεφόμενος· καὶ τιμῶν τὴν
τὴν ὁμιλίαν βουλόμενος, λέ-
ληθεν ὅτι τὸ δεῖν ἀνακάμπτεσθαι σ-
υστρεφομένην, ὑπὸ τῶν κυμάτων
συμπιέζεσθαι· καὶ ὁ μὲν ἀχ-
λάσας, τὴν τιμωρίαν οὐ διαδρᾶ ::
Εἶ(πε) ποιμὴν πρεσ(βύτερος)· ὅτι τρία κε-
φάλαιά εἰσι· καὶ εἴ τις φυλά-
ξει αὐτά, δύναται οἰκῆσαι σὺν π-
τωχοῦ· τὸ μέμφεσθαι ἑαυτὸν·
τὸ καταρρίψαι ὀπίσω τὸ θέλημα·
καὶ τὸ ἔχειν ἑαυτὸν ὑποκάτω
πάσης κτίσεως :: ἀγαθ(ων) ::

Διὰ τῆς ὀρθῆς πίστεως καὶ τῶν καλ-
ἔργων οἰκοδομεῖται ὁ οἶκος τῆς
ψυχῆς· καὶ οὕτως οἰκεῖ ὁ θ(εὸ)ς ἐν
ἡμῖν· ἐνοικήσω δέ φησιν ἐν
αὐτοῖς καὶ ἐμπεριπατήσω·
καὶ τοῦτο δηλῶν ὁ ἀπόστολος
ἔλεγεν· ἢ οὐκ ἐπιγινώσκετε
ὅτι Χ(ριστὸ)ς οἰκεῖ ἐν ὑμῖν; εἰ μή τι
ἄρα ἀδόκιμοί ἐστε· οὐκ οἶδε
τρίμμων ὁ διάβολος· πότερον
ἔσω ἐστὶν ἐν τῇ διανοίᾳ σου
ὁ οἰκοδεσπότης Χ(ριστό)ς, ἢ οὔ· ὅ-
ταν δὲ ἴδῃ σε ὀργιζόμενον ἢ
κραυγάζοντα· ἢ ὀμνύοντα·
ἢ αἰσχρολογοῦντα· ἢ λοιδο-
ροῦντα· ἢ κατακρίνοντα· ἢ
ἀδικοῦντα τινάς· ἢ ὑπερη-
φανευόμενον καὶ ἀλαζονευό-

μένον· ἡ μὲν συνοχῶς προ
σαχομένου καὶ τοῦ θανάτου
μνημονεύοντα, τό τε μοῦ φό
τι οὐκ ἔστιν ἐν σοὶ ὁ φυλάσ
σων σε καὶ φροντίζων θ(εό)ς·
καὶ οὕτω λοιπὸν καθάπερ
κλέπτης ἐσελθὼν ὁ πονη
ρός· ὡς μὲν ὄντος θείου λύχνου
ἐν καρδίᾳ, συλᾷ τὸν οἶκον
τῆς ψυχῆς· καὶ τὴν ἐναυταῖ ἐ
λατά σου λαφύρομαι τῶν πρώ(των):·
Εἴπερ ἑτέρων· συνήθειαν κατὰ
μικρὸν ἀδελφὲ τὴν καρδί ϛ
σου περὶ ἐμὸς ἑκάστου τῶν
ἀδελφῶν λέγειν· οὗτος ἐν ἀ
ληθείᾳ προάγει μου κατὰ θ(εὸ)ν·
καὶ πάλιν· οὗτος σπουδαι
ότερός μου ἐστί· καὶ οὕτω λοι

ὑπὸ μὲ ἔρχῃ εἰς τὸ ἔσχατον ἑαυτ-
ὸν ὑποκάτω πάντων· καὶ οἱ
κατὰ τὸ σῶμα τὸ ἅγιον ὁμοῦ σοι· ἐὰν
δὲ σεαυτὸν οὐδὲν μώσῃς ἀμὸν, ἀνα-
χωρεῖ ἡ χάρις τοῦ θεοῦ ἀπὸ σοῦ:
καὶ σκληρυνθήσεται σου ἡ καρδία·
καὶ παραδίδοσαι τοῖς μολυσ-
μοῖς τῆς σαρκός· καὶ κατὰ ψυχὴν
οὐδεμίαν εὑρίσκεται ἐν σοί:
Εἶπε γέρων περὶ τοῦ ἀββᾶ
ἰωάννου τοῦ ἀββᾶ μαρ σαμου-
φίου· ὅτι οὐδέποτε αὐτὸν ἡ-
μέρα διαφάνηται ἢ τὸ ἀληθινὸν τὰ
εἶδον· οὐδὲ ἐκτὸς δακρύ-
ων μετέλαβε τῆς ἁγίας
κοινωνίας· μετὰ τοῦ λέγειν·
Κύριε μὴ εἰς κρίμα μοι γένηται
ἢ εἰς κατάκριμα ἡ μετάλη-
ψις τῶν ἁγίων μυστηρίων σου:

Ἡ ἄσκησις, μήτηρ ἐστὶ τοῦ ἁγι-
ασμοῦ· ἐξ οὗ γεννᾶται ἡ πρώ-
τη γεῦσις τῆς αἰσθήσεως τῶν
μυστηρίων τοῦ θεοῦ· ἥτις καλεῖ-
ται πρώτη τάξις τῆς πνευματικῆς γνώ-
σεως τοῦ ἀνθρώπου. Ὁ ὀδηγῶν
τὰ χαρίσματα τοῦ θεοῦ πρὸς
τὸν ἄνθρωπον, καρδία ἐστί· κινου-
μένη πρὸς εὐχαριστίαν ἀδιά-
λειπτον· ἄνθρωπος φθάσῃ γνῶ-
ναι τὸ μέτρον τῆς ἀσθενείας
αὐτοῦ, οὗτος ἔφθασε τὸ τέ-
λειον τῆς ταπεινώσεως· στό-
μα διαπαντὸς εὐχαριστοῦν,
εὐλογίαν δέχεται παρὰ θεοῦ.
καὶ καρδία διαμένουσα ἐν
εὐχαριστίᾳ, ἐν ταύτῃ ἐπέρχεται ἐν αὐτῇ
ἡ χάρις. Πρὸ τῆς χάριτος,
τρέχει ἡ ταπείνωσις· καὶ

πρὸ τῆς παιδείας τρέχει ἡ οἴη-
σις. ὁ ὑπερηφανευόμενος,
παραχωρεῖται ἐμπεσεῖν εἰς
βλασφημίαν. καὶ ὁ ἐν τῇ ἀ-
ρετῇ τῆς πράξεως ἐπαιρόμενος,
ἐν τῇ πορνείᾳ παραχωρεῖται
πεσεῖν. ὁ τιμῶν πάντας
ἀνθρώπους ἐν τῇ μνήμῃ τοῦ θεοῦ, οὗ-
τος εὑρίσκει βοήθειαν παρὰ
πάντων τῶν ἀνθρώπων τῷ νεύματι τοῦ
θεοῦ ἐν τῷ κρυπτῷ. ὁ ἀδι-
κούμενος ὑπὲρ τοῦ ἀδικου-
μένου, εὑρίσκει τὸν θεὸν ὑπέρ-
μαχον ἑαυτοῦ. ὁ παρέχων
τὸν βραχίονα ἑαυτοῦ εἰς βο-
ήθειαν τοῦ πλησίον, λαμ-
βάνει τὸν βραχίονα τοῦ θεοῦ
εἰς βοήθειαν ἑαυτοῦ. ὁ κατη-

γορῶν τὸν ἀδελφὸν αὐτοῦ
ἐν τῇ κακίᾳ αὐτοῦ, ἄριστ
κα τὸν θν̄ καθήγορον ἑαυτοῦ.
ὁ διορθούμενος τὸν ἀδελφὸν
αὐτοῦ ἐν τῷ ταμείῳ αὐτοῦ,
τὴν ἰδίαν κακίαν ἰᾶται. ὁ
ὁ καθηγορῶν τινα ἐν συνα
θροίσματι, ἐν ἰσχύει τὰ ἴδια
τραύματα. ὁ θεραπεύων
τὸν ἑαυτοῦ ἀδελφὸν κρυπτῶς,
τὴν ἰσχὺν τῆς φάσεως αὐτοῦ
ἔκδηλον ποιεῖ: Πρὸς
τοὺς φίλους σου ἐν ἀληθείᾳ
πορεύθητι. καὶ ὅταν σοι
ἤσῃς τοῦτο, καὶ ἑαυτὸν καὶ
ἐκείνους ὠφελήσεις. ὅτι
πολλάκις προφάσει τῆς ἀ
γάπης, ἀποπαλλάσσει τὴν

τὸν χαλινὸν τῆς παραφυλα-
κῆς ἐκ τῶν συντυχιῶν παραφυ-
λάξαι· ὅτι οὐκ εἰσὶν παντὶ καὶ-
ρῷ ὠφελοῦσιν. ἐν συνα-
θροίσματι, τίμα τὴν σιωπήν·
ζημίαν γὰρ πολλὴν αὐτὴ κω-
λύει:
Ἐὰν μὲν ἔχῃς κατανύ-
ξιν, γίνωσκε ὅτι κενοδοξία-
μὸς εἰς· ἢ γαστριμαργίαν· ἢ
ἀνάπαυσιν σαρκικήν· ἢ ἐν
ὕπνον καὶ ἀργίαν· αὗται γὰρ
αἱ αἰτίαι οὐκ ἀφιοῦσι τὴν
ψυχὴν κατανυγῆναι· καὶ κα-
τάστησον τὸ πρᾶγμα:
Μίσησον τὰς συνουσίας τῶν
πολλῶν· ὅτι συγχέουσιν τὴν
ψυχήν σου περιέχουσιν· ἀγα-
πησον σιωπήν· ἵνα ἐν σοὶ

ἡ σιωπὴ δὲ ἡ σοῖς ὡς διδάσκαλος
ἤ· φάστε πολυλόγοι παμψῆμα
μιτέμη δὲ οἱ λησμῶν:·
Ἴφη σοι τὸν μονῶ τῆς περὶ τὰ
πάθη παλάψης, ἀναρμωσοῖ σ
καὶ ἀγρυπνία· καὶ προσευχή
καὶ ψαλμῳδία:·
Ὁ ἀγαπῶν τὸν θεόν, ἀγγελικὸν
ὡς ὁμιλοῖ ἐπὶ γῆς· νηστειῶν
καὶ ἀγρυπνιῶν· καὶ ψαλλῶν
καὶ προσευχόμενος· καὶ πει
νῶντος ἀμοῦ καλῶ διαλο
γιζόμενος:· Ἡ παρρησία
ἡ πρὸς τὸν θεόν, ἐκ τῆς πρὸς
αὐτὸν συνεχοῦς ὁμιλίας γίνεται
καὶ τῆς πολλῆς προσευχῆς:·
Δύο τῶν δαιμόνων ὀξύτατοι
παρατηρήσας, διῆρησις· κυ
χεδὸν τὴν κίνησιν τοῦ νοὸς
ἡμῶν παρατρέχοντας· τὸν

δαίμονα τῆς πορνείας· καὶ τὸν
σων ἁρπάζοντα ἡμᾶς πρὸς
βλασφημίαν θεοῦ· ἀλλ' ὁ μὲν
δεύτερος, ὀλιγοχρόνιος ἐστί·
ὁ δὲ πρότερος εἰ μὴ μετὰ πα-
θῶν κινοίη τὸν λογισμὸν ἡμῶν,
οὐκ ἐμποδίζει ἡμῖν πρὸς τὴν
γνῶσιν τὴν τοῦ θεοῦ:

Νεφέλη καλύπτει ἥλιον· καὶ
λόγοι πολλοὶ τὴν ἀρξαμένην
φωτίζεσθαι ἐν τῇ θεωρίᾳ ψυχὴν
ἀχλὺς καλύπτουσιν: μθ

Μακρὰν ἀπὸ σοῦ τὸ πολύρρη-
μον ἀπόδιωκε παναίμαι· ἐν αὐ-
τῷ γὰρ πάνδεινα κέκρυπται
πάθη. ἔνθεν τὸ ψεῦδος. ἐκεῖθεν
ἡ παρρησία. ἄλλοθεν ἡ εὐτρα-
πελία. ὅπλως ἑτέρωθεν ἡ
ἡ καταλαλιά. ἡ λοιδορία. καὶ
αἰσχρότης. ἡ μωρολογία. καὶ

συνεχόμενα τὰ φάρμακα τὸ εἰρημένον·
ὅτι ἐκ πολυλογίας οὐκ ἐκφεύ-
ξῃ ἁμαρτίαν· ἀνὴρ δὲ σιωπη-
λός, θρόνος αἰσθήσεως:·

Βίος καὶ πολιτεία τοῦ ὁσί(ου) πατρὸς ἡμῶν Μάρκου τοῦ ἀθη-
ναίου· τοῦ ἀσκήσαντος ἐν τῷ ὄρει τῆς Θρᾴκης· τῆς οὔσης ἐπέκεινα τῶν ἐνδοτάτων μερῶν τῆς ἀσβάλου αἰθιοπί(ας):· πάτερ εὐλόγησον:·

Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Σερα-
πίων ὑπάρχων ἐν τῇ ἐσωτέ-
ρᾳ ἐρήμῳ τῆς Αἰγύπτου· ὅτι
τεθέαμαι κατ' ὄναρ καθεύδον-
τος μου πρὸς τὸν ἀββᾶν Ἰω-
άννην τὸν μέγαν γέροντα, ὅ-
τι ὑπὲρ ἐμὸν τὸ δύο ἀσκηταί·
καὶ εὐλογηθέντες ὑπ' αὐτοῦ,

εἶπον· ὁ ἀμμᾶς σεραπίων
ἐστὶν οὗτος; λέγω ὅτι εἰς τῷ ἑτέ
ρω· μαι· καὶ ἀπιώσαντες ἀδ
λος ἠθῶμεν ὑπὸ αὐτοῦ· λέγει
αὐτοῖς ὁ ἀμμᾶς ἰωάννης· δὲ
τί ὡς παρεγένετο ἐκ τῆς ἐρή
μου καὶ κατὰ κόπος ἐστιν· ἐ
ἀσπάσατε αὐτὸν ἀναπαύεσθαι ὀλί
γον· καὶ λέγουσιν αὐτῷ ἐκά
μοι· πόσος καιρὸς ἐστὶν ἀφ' οὗ
κοπιᾷς ἐν τῇ ἐρήμῳ ταύτῃ
καὶ πρὸς τὸν ἀμμᾶν μάρκον
ἐν τῷ ὄρει τῆς θρᾴκης αἰθιο
πίας οὐκ ἀπῆλθες· ἐν πᾶσι
γὰρ τοῖς ἀσκηταῖς ἀπὸ πάσης
τῆς ἐρήμου, οὐκ ἔστι κατ' αὐτὸν
ἕτερος· ὑπάρχει γὰρ ὁ γέρων
ἑκατὸν τριάκοντα ἐτῶν· ἐ
ενήκοντα πέντε χρόνους —

χάριν ἀφ' οὗ ἀπὸ μου κε θεασάμ(ενος)·
καὶ διὰ τεσσαράκοντα ἡμε-
ρῶν, παρεγίνοντο οἱ ἅγιοι
περιϊόντες τὴν χώραν ζῶντ(ες),
καὶ παραχαμμαμοιστὴν αὐτο·
καὶ ταῦτα ποιούντων αὐτῶν,
ὕπνος ἐγένετο· καὶ οὐ(ρανό)θεν
ἔστη πρὸς τὸν ἀοίδιμον Ἰωάννην·
καὶ προσεπιστὰς αὐτῷ, ἔφη
ἅπερ ἑώρακε κατ' ὄναρ· αὐ-
τὸς δὲ χαρίζεμοι· θεῖον ἐστὶ τὸ
ὅραμα· ποῦ ἐστὶ τὸ ὄρος τῆς
Θράκης· καὶ εἶπον αὐτῷ, δό-
ξαν ὑπὲρ ἐμοῦ πάτερ· καὶ ποι-
ησάμενον ὡς μὴ μόνον ἄχλυν, ἡ πα-
σάμενοι αὐτόν· καὶ ὁ δεύσας ἐ-
πὶ ἀλεξάνδρειαν οὖσαν ὁδὸν
ἡμερῶν ἀποδεικνύς, ἐκ τῆς πολ(εως)

ἐπιθυμίας τῆς ὀπτασίας. καὶ
ἔλαβον αὐτὴν δι' ἡμερῶν πέντε.
πεζοῦσαι ἐν τῇ βραχυτάτῃ ἐρη=
μώσει ἐκείνῃ, ἡμέρας καὶ νύκ-
τας ἐν τῷ καύματι τοῦ ἡλίου
ὥστε τὸν χοῦν τῆς γῆς κατακαί-
ειν. εἰσελθόντος δέ μου ἐν Ἀλε-
ξανδρείᾳ, ἠρώτησα τινὰ τῶν
ἐμπόρων, καὶ διακριβῶς τὰς ὁ=
δοὺς ἐπιστάμενον. τὸ ὄρος τῆς
Θράκης τῆς Αἰθιοπίας ἔστι=
μακράν; ὁ δὲ λέγει μοι, ὅμ
πας ἀββᾶ πολύμηκός ἐ=
στιν. εἶτα πάλιν εἶπον αὐτῷ,
ἄρα πόσον ἐστὶ τὸ διάστημα;
καὶ εἶπέ μοι, ὡς εἰκάζω πά-
τερ, ἐστὶν εἴκοσιν ἡμερῶν.

εἰς

εἰς τὰ μέρη τῆς αἰθυοπίας,
ἐν τῇ μεγάλῃ θαλάσσῃ. τὸ δὲ
θρας τῶν χετταίων. καὶ λέγω
αὐτῷ πῶς μοι γενήσεται ἁρ
μόδιον, θέλω γὰρ πορευθῆ
ναι ἐκεῖσε. ὁ λέγει μοι ὁ ἔμ
πορος, πάτερ, οἱ μὲν διὰ θα
λάσσης γένονται ἡ ὁδοὶ πορεί
α σου, οὐ πολὺ ἀπέχει ἐν
θεν. εἰ δὲ διὰ τῆς ἠπείρου,
ἐν ἡμέραις ἑξήκοντα. τό
τε λαβὼν εἰς φλασκίαν κο
λοκύνθιμον ὕδωρ, καὶ ὀλί
γους φοίνικας, ἀνεθέμην ἐμ
αὐτὸν τῷ θεῷ. ὁδεύσας οὖν ἐν
τῇ ἐρήμῳ ἐκείνῃ ἡμέρας εἴκοσι,
οὔτε θηρίον, οὔτε ὄρνεον, οὔτε
ἄλλο τι ἑώρακα. διὰ τὸ μὴ ἔχειν
ἄν

ἅμα ὅπου ἔμπη εἰς τὴν οἰκίαν αὐτοῦ.
ὑετὸς ἢ δρόσος, οὐδ' ὅλως
κατηνέχθη ἐν αὐτῇ. οὐδὲ ὕ
πῆρχε τι ἰαμώσιμον. μετὰ
δὲ τὰς εἴκοσι ἡμέρας, ἐξε
λίπετο ὕδωρ ὅλον καὶ ἐ
κινδυνεύομεν. ὅσα ἦμεν δὲ εἰς
τὰ ἔμπροσθεν, οὐκ ἴσχυον
καὶ στραφῆναι εἰς τὰ ὀπί
σω, ἐφοβούμην τὴν σιωπὴν ταύτην.
δεδοικὼς τοῦ θεοῦ παρακοῦ
σαι. ἐκάθημην δὲ ἐν τῇ γῇ ὡς
νεκρός. καὶ ἰδοὺ οἱ ἄλλοι
ἐκάθημοι οἷον εἶδον ἐν ὁράμα
τι, ἔστησαν ἐν ἔμπροσθέν μου.
καὶ λέγουσί μοι. ἀνάστα. πο
ρεύθητι σὺν ἡμῖν. καὶ ἀνα
στάς, εἶδον ἐν αὐτοῖς αὐτοὺς ἀ
τενίζοντας πρὸς τὸν ἥλιον. καὶ

τραφεὶς λέγει μοι· θέλεις
μεταλαβεῖν ὕδατος; λέγω
αὐτῷ· ὡς κελεύεις πάτερ· καὶ
ἔδειξέ μοι ῥίζαν κομμένως
ἐρριμμένου· καὶ εἶπέ μοι·
λαβὼν φάγε ἐκ τῆς ῥίζης
αὐτοῦ· καὶ ὡς ἀδόσαι ἐν τῷ ὀνόματι
τοῦ κυρίου [illegible]· καὶ τῇ ἐξῆς
φαγὼν ὀλίγον, ἱδρῶσαι ὥσ-
περ ἐν ὕδατι ἐκυλιόμην δθυμεῶ·
καὶ ἐλιπάνθη μου ἡ ψυχὴ καὶ
ἐγενόμην ὡς μηδέποτε ὀλι-
γορῶν· καὶ εἶπέν μοι τεῖ κοιτ
ἐν ἧ πορεύσομαι πρὸς τὸν θεόν·
[illegible] εἰπόντες· μὴ χρονίσῃς· καὶ
εὐθέως ἀφανὴς ἐγένετο ἀπ'
ἐμοῦ· ἐγὼ οὖν ὡδοιπόρουν τὴν ἔρη-
μον ἐκείνην ὡσεὶ ἡμέρας ἑπτά.

καὶ οὕτως κατελαύνομεν ἐν
τῷ ὄρει ἐκάμμω. ἀνήλθομεν
δὲ μάχρι τῆς ἀκρωρείας αὐ-
τοῦ. καὶ οὐκ ἦν ἐν τῷ ὄρει
ἐκάμμω τί τὸ σύνολον. καὶ
οὕτως ἦν ὑψηλόν. ὡς δοκεῖ
ἐπαίρεσθαι εἰς τὸ ὕψος τοῦ
οὐρανοῦ. κατελάβομεν δὲ τὸ ἀ-
κρώρειον τοῦ ὄρους, εἴδομεν.
καὶ ἰδοὺ θάλασσα μεγάλη
ἐν ταῖς ἀκρωρείαις τοῦ ὄ-
ρους ἦν κεκολλημένη. καὶ
διήλθομεν ἐν τῷ ὄρει ἡμέρας
ἑπτὰ ἔνθεν καὶ ἔνθεν. καὶ
ἐν αὐτῇ τῇ ἐπελθούσῃ νυκ-
τί, εἴδομεν τοὺς ἀγγέλους τοῦ θεοῦ
καταβαίνοντας ἐκ τοῦ οὐρανοῦ
πρὸς τὸν ἅγιον μάρκον. καὶ

δοξολογοῦντας καὶ λέγον
τας· μακάριος εἶ καὶ κα
λῶς ἐγαι τῇ τύχῃ σου ἀβ
βᾶ Μάρκε· ἰδοὺ ἠμάκα
μεν σοι τὸν ἀμμᾶν σερα
πίωνα· ὃν ἐπόθησεν ἡ τύ
χη σου θεάσασθαι. καὶ
ταῦτα ἀκούσας καὶ ἄφο
νος γενόμενος, ὥ δέσαι
, ται τῇ ὀπτασίᾳ ἕως οὗ
κατέλαμψεν τὸ ὅλον ἄντρο,
ἐν ᾧ ὥσπερ χὸν ὁ ἅγιος Μάρ
κος· πλησιάσας δὲ τῇ θύ
ρα τοῦ σπηλαίου, ἀκήκοα
αὐτοῦ αἰχολογοῦντος οὕ
τως· ὅτι χίλια ἔτη ἐν ὀ
φθαλμοῖς σου κύριε, ὡς ἡ ἡ
μέρα ἡ ἐχθές· καὶ ταῦτα λοιπ

τοῦ ψαλμοῦ· μακαρία ἡ
ψυχή σου μάρκε· ὅτι οὐκ
ἐμορμόρωται οὔτε μεμόλυν-
ται ἐν τῷ κόσμῳ τούτῳ·
μακάριον τὸ σῶμά σου ὅ-
τι οὐκ ἐκέκραι παλήσεν ἐν
ταῖς ἐπιθυμίαις τῶν ἐκ-
κηλῶν χοϊσμέων· μακά-
ριοι οἱ ὀφθαλμοί σου· ὅτι
οὐκ ἴσχυσεν ὁ διάβολος
ἀποπλανῆσαι αὐτοὺς τοῦ
θεάσασθαι ἀλλοτρίας μορ-
φάς· μακάριον τὸ οὖς σου
ὅτι οὐκ ἤκουσε τὴν κραυγὴν
τῶν σαρκήμων ἐν ἀκοῇ
τοῦ ματαίου κόσμου· μα-
κάριαι αἱ χεῖρές σου· ὅτι
οὐκ ἐκεκράτησαν ἢ ἐπιτηχώ

φησαν τι τῶν ἀνιμων πραγ-
μάτων· οὔτε τοὺς μυκτῆ-
ρας σου ἔφραξεν ἡ ὀσμὴ τοῦ
διαβόλου· οὔτε οἱ πόδες σου
ἐκάθισαν τὰς ὁδοὺς τὰς
ἀπαγούσας εἰς θάνατον·
οὔτε ὑπεσκέλισαν τὰ δια-
νήματά σου· ἡ ψυχή σου ἐ-
μεπλήσθη τῆς πορνικῆς
τρυφῆς· καὶ τὸ σῶμά σου
ἠγλάσθη τῇ αἴγλῃ τῶν ἀγγέ-
λων· ἔλεγε δὲ πάλιν· εὐ-
λόγει ἡ ψυχή μου τὸν κύριον· καὶ
πάντα τὰ ἐντός μου τὸ ὄ-
νομα τὸ ἅγιον αὐτοῦ· εὐλό-
γει ἡ ψυχή μου τὸν κύριον καὶ μὴ
ἐπιλανθάνου πάσας τὰς ἀν-
ταποδόσεις αὐτοῦ· τί
χῦ σῆ ψυχή μου· μὴ φοβοῦ.

οὐ μὴ γὰρ κρατηθῇς ἐν ταῖς
φυλακαῖς τοῦ ᾅδου καὶ τῶν
δαιμόνων· οὐδ' οὐ μὴ δυνη-
θῶσι κατηγορῆσαί σου· οὐ-
κ ἔστι γὰρ ἐν σοὶ λύθρον τῶν
ἁμαρτημάτων αὐτῶν· ἀλ-
λ' ἄκουε τοῦ δαδ· παρεμ-
βαλεῖ ἄγγελος κυ κύκλῳ τῶν
φοβουμένων αὐτὸν καὶ ῥύ-
σεται αὐτούς. καὶ ὁ κς· μα-
κάριος ὁ δοῦλος ἐκεῖνος ὁ
ποιήσας τὸ θέλημα τοῦ κυ
αὐτοῦ. καὶ πολλὰ εἰπὼν
ἐκ τῶν ἁγίων γραφῶν, ἐ-
ξῆλθε πρὸς τὴν θύραν τοῦ
σπηλαίου· καὶ κλαίων μελ-
εμᾶ, ἐκάλεσε μεγάλων· σῶ-
ερήμην χῦ παρεῖτέ μου αἷμα
σωτηρίων· ἐπίσομοι τε

κνον· καὶ ἐγγίσας αὐτῷ,
ἐνηγκαλίσατό με· καὶ κλαί-
ων, κατεφίλει λέγων· ὀσ-
μὴ τοῦ υἱοῦ μου σεραπίωνος,
ὡς ὀσμὴ πνικοῦ τέκνου·
τὸν κόπον τοῦτον κεκοπία-
κας, τοῦ θεάσασθαι τὴν πο-
λιάν ταύτην· ἑξήκοντα
πέντε ἔτη ἔχω τέκνον ὅτι
οὐκ ἐθεασάμην ἄνον· ἐγὼ μὲν
σήμερον τὴν σὴν ἁγιωσύνην·
κ̅ς̅ ὀρφανομένω ἐκ πολλῶν
χρόνων· καὶ οὐκ ὤκνησας
δι' ἐμὲ τοσοῦτον ἀναδέξασ-
θαι κόπον· ἀλλ' ὁ κ̅ς̅ μου
ἰ̅ς̅ χ̅ς̅, ἀποδώσει σοι τὸν μι-
σθὸν ἐν ἡμέρᾳ ᾗ μέλλει τὰ
κρυπτὰ τῶν ἀνων ἀπο-
δοῦναι ἑκάστω· καὶ ταῦτα
εἰπών, κελεύσας ἐκάθισε

θημεν· καὶ ἤρξαμην αὐτὸν
ἐρωτᾶν περὶ τῆς ἀμέμπτου
αὐτοῦ πολιτείας· ὑπολα-
βὼν δὲ λέγει μοι· ἰδοὺ τέ-
κνον, ἐνενήκοντα πέντε
ἔτη ἔχω ὅτι εἰμὶ ἐν τῷ μικρῷ
φωλεῷ τούτῳ· καὶ οὐχ ἑώ-
ρακα οὔτε θηρίον· οὔτε ὄρ-
νεον· οὔτε ἄρτον ἀνθρώπινον ἔ-
φαγον· οὔτε ἔνδυμα κοσ-
μικὸν περιεβαλόμην·
τριάκοντα χρόνους δὲ ἦ-
γαγον ἐν τῷ θεῷ ἐν μεγάλῃ
ἀνάγκῃ καὶ πολλῇ στενοχω-
ρίᾳ, ὑπὸ πείνης καὶ δί-
ψης καὶ γυμνότητος καὶ
τῶν τοῦ διαβόλου πειρασμῶν·
ἔφαγον τέκνον χόρτον ἀπὸ

περάμης. καὶ ἐπορευόμην ὕδωρ
ἐκ τῆς θαλάσσης. ἐκοσίη
ἐπὶ αὐτοῖς διῆξα τυμπνός.
καὶ ἦμεν ἐπὶ μεγάλῃ κατεμώ-
σα. ὤμοσαν καθ' ἑαυτοῖς οἱ
δαίμονες μυριάκις τοῦ πνί-
ξαι με ἐπὶ τῇ θαλάσσῃ. ἔσυ-
ράν με πολλάκις μέχρι τῶν
κατωτάτων μερῶν τοῦ ὄρους.
ἕως ὅτου ὁ Χριστὸς ἐλαφθῆ ἐφ'
ἐμοὶ οὔτε δέρμα οὔτε σάρξ.
κράζοντες καὶ λέγοντες.
ἔξελθε ἐκ τῆς γῆς ἡμῶν. ἀπ'
ἀρχῆς τοῦ κόσμου ἕως
τοῦ νῦν, οὐκ ἐπῆλθεν ἐνταῦ-
θα ἕτερός τις. καὶ σὺ πῶς
ἐτόλμησας ὧδε εἰσελθεῖν.
καρτερήσας δὲ ἐν ὑπομο-
νῇ πολλῇ τριάκοντα ἔτη

ἐμ πάσῃ μὴ καὶ δίψῃ καὶ γυμνό-
τητι· καὶ πολλῶν πολέμω(ν)
δαιμονϊκῶν, ἐκ τότε ἐπε-
φοίτησε μὴ τοῦ θ(εο)ῦ χάρις κ(αὶ)
πολλὴ ἀσπλαγχνία· καὶ
τῇ αὐτοῦ προστάξει, μηδὲ
πράσση σαρ τὰ σωματικὰ
ϊδιώματα· καὶ ἐφύησαν
τρίχες ἐν αὐτῷ· ἕως οὗ ἐ-
καλύφθη τὸ σῶμά μου ὑπ'
αὐτῶν· καὶ ηρῶσϊς τὸν ἱ-
κηὼ διαλέγη πῶς ἐφέρετο
μοι· καὶ ἄγγελοι κατέβαι-
νον πρός με· καὶ ἐθεασά-
μην τε κμον τὴν χαρὰν τῆ(ς)
ιασϊ λᾶς τῶν οὐρανῶν· ἐ-
τὰς μονὰς τῶν ἁγίων τυ-
χῶν· ἃ δὲ ἐν ἐπαγγελία.

μακαριότητ(ος) ἑτοιμασθ(εῖ)σα
τοῖς ποιοῦσι τὰ ἀγαθά. εἶ
δον τὸν παράδεισον τοῦ θ(εο)ῦ·
καὶ ἔδειξέ μοι τὸ τῆς γνώ
σεως ξύλον. ἐξ οὗ ἔφα
γον οἱ προπάτορες ἡμῶν ὁ
Ἀδὰμ καὶ ἡ Εὔα. εἶδον
τὸν Ἐνὼχ καὶ τὸν Ἠλίαν ἐν
γῇ ζώντων. οὐκ ἔστι τὸ
κρυπτόν τι ὃ ἀπηρώτησά μου
παρὰ θ(εο)ῦ καὶ οὐκ ἔδειξέ μοι.
ταῦτα ἀκούοντος τοῦ ἀρχ(αγγέλου)
λέγω αὐτῷ· εἰπέ μοι περ
πῶς ἐστενομένην ἔχλαπίσαν αὐτ
ἐνταῦθα. ὁ δὲ ἄγγελος τῆς
κατ' αὐτὸν δικαιώσεως ἤρ
ξατο. ἐγὼ τέκνον αὐτὸ σὺ

ἀπὸ ἀθηνῶν ἐπεμόμην· κ(αὶ)
ἐν τῇ διατριβῇ τῶν φιλο
σόφων ἐπαιδευόμην. ἀ
ποθανόντων δὲ τῶν ἐμῶν
γονέων, ἀπορῶν ἐν ἑαυτῷ. ὅ
τι κἀγὼ θνητός εἰμι ὡς οἱ
πατέρες μου· ἀλλ' ἀναστὰς,
ἀποχωρήσω ἐκ τοῦ κόσ
μου· καὶ ἀθέως ἀπεδύ
σάμην τὰ ἱμάτιά μου·
καὶ ἔρριψα ἑαυτὸν ἐπὶ
σανίδος ἐν τῇ θαλάσσῃ·
καὶ κατέλαβον τὸ ὄρος
τοῦτο· καὶ ταῦτα ἀπορῶν τοῦ
τοῦ [illegible], ἔφθασεν ἡ ἡμέ
ρα· καὶ θεασάμενος τὸ
σῶμα αὐτοῦ διόχου κα…

χῦν μεμεσμένον ταῖς θριξὶν ὡς
ξηρός, ἐδαλίασαι· καὶ ἐμ
φοιμος τρεμόμενος, ἐτρόμα
ξαι· διὰ τὸ μὴ ὁρᾶν ἐν αὐτῶ
μορφὴν ἀμοῦ· ἄλλο θέαμα γὰρ
οὐκ ἐπὶ μωσκοῦ, ἀμὴν ἐκ τοῦ
στήθους ἐρχέσθαι τὸν λόγον ἐκ τοῦ
στόματος αὐτοῦ· ὡς οὖν εἶ
δε με ὅτι ἐφοβήθην, λέγει
μοι· μὴ φοβηθῇς τέκνον
ἐκ τῆς θέας τοῦ σώματος
τούτου· σῶμα γάρ ἐστι φθαρ
τόν· καὶ πάλιν λέγει μοι·
ἰφαταλο ὁ κόσμος καὶ θάλλει
καὶ τῶ τὸ ἀρχαῖον ἔθος·
καὶ λέγω αὐτῶ· ναὶ πάτερ·
χάριτι χῦ καὶ ὑπὲρ τοιου

πρώτους καιροὺς πλέον
θάλλει ὁ κόσμος τὴν σήμερον·
καὶ πάλιν λέγει μοι· ἔστιν ἐ
λλειμισμὸς ἢ διωγμὸς ἕως
τοῦ νῦν; καὶ λέγω αὐτῷ· διὰ
τῶν σῶν ἁγίων ἀγγέλων, πέ
παυται ὁ διωγμὸς τῶν χρι
στιανῶν· καὶ ἐχάρη χαρὰν
μεγάλην ὅπερ ὢν ἀκούσας
τοῦτο· καὶ λέγει μοι· ἔστι τί
νες ἅγιοι ἐν τῷ κόσμῳ σή
μερον ἐνεργοῦντες δυνά
μεις καὶ θαύματα καθὼς
εἶπεν ὁ κύριος ἐν τοῖς εὐαγγελίοις· ὅ
τι ἐὰν ἔχητε πίστιν ὡς κόκ
κον σινάπεως, ἐρεῖτε τῷ
ὄρει τούτῳ μετάβηθι ἐντεῦ
θεν καὶ ἀληθῆ [illegible] ἔστι τῷ θεῷ

λασσαν καὶ ἐν ἡσυχίᾳ· καὶ
τοῦτο εἰπόντος τοῦ ἁγίου,
ἐπήρθη παραυτίκα τὸ ὄ-
ρος ὡς εἰ πήχας πέντε καὶ
ἐβλήθη εἰς τὴν θάλασσαν·
ἀναβλέψας δὲ καὶ ἰδὼν
αὐτὸ περιπατοῦν, τύψας
τῇ χειρὶ ὁ φίλος τὴν ὀστιν, εἶ-
πε· τί σοι γέγονεν ὄρος· οὐ-
χὶ σοὶ εἶπον μὴ ἐλθεῖν μοι· εἶ-
ναι ἐν τῷ τόπῳ σου· καὶ
τοῦτο εἰπόντος τοῦ φίλου,
παραυτίκα ἔστη τὸ ὄρος·
ἐγὼ δὲ ταῦτα ἰδὼν, ἔπε-
σον ἐκ τοῦ φόβου χαμαί· καὶ
κρατήσας τῆς χειρός μου ὁ
φίλος, ἤγειρε λέγων· οὐ

κὲ θεάσω τοιοῦτον θέαμα
ἐν ταῖς ἡμέραις σου; κἀγὼ
εἶπον· οὐχί· καὶ στενάξας
ἔκλαυσε καὶ εἶπεν· οὐαὶ τῇ
γῆ· ὅτι χριστιανοὶ μόνον
ὀνόματι εἰσίν· οὐ μὴν τοῖς
ἔργοις· εὐλογητὸς ὁ θεὸς ὁ
διαγαγών με εἰς τὸν χρόνον
τοσοῦτον τοῦτον· ἵνα μὴ ἀ-
ποθάνω ἐν τῇ ἰδίᾳ πατρί-
δι· καὶ ταφῶ ἐν τῇ μεμι-
αμένῃ ἐν ἁμαρτίαις πολ-
λαῖς. ὀτίας δὲ ἐγνωμε-
μένης εἶπέ μοι· ἀδελφὲ
σὲ ἐρωτῶν· οὐκ ἔστι καιρὸς
τοῦ ποιῆσαι ἡμᾶς ἀγάπην;
ἐγὼ δὲ οὐκ ἀπεκρίθην

αὐτῷ· καὶ εὐθέως ἅμα τ(ῷ)
καὶ ἐκτάμας τὰς χεῖρας εἰς
τὸν οὐρανόν, εἶπε τὸν ψαλμὸν
τοῦτον· κ(ύριο)ς ποιμαίνει με καὶ
οὐδέν με ὑστερήσει καὶ τὰ
λοιπὰ τοῦ ψαλμοῦ. τότε
ἀραφεὶς ὁ ὅσιος τὸ ἄντρον,
φωνὴν μεγάλην εἶπε· σκέπα-
σον τέκνον τράπεζαν. καὶ
λέγει μοι· ἂς ἔλθωμεν τέ-
κνον καὶ μεταλάβωμεν
τροφῆς ἧς ὁ θ(εὸ)ς ἀπέστειλεν
ἡμῖν. κἀγὼ ἐθαύμασα καὶ
ἠπόρουν κατ' ἐμαυτόν. καὶ
ἔκθαμβος ἐγενόμην. ὅτι
πρὸ τούτου οὐχ ἑώρακα
τι ἐν τῷ σπηλαίῳ· οὐ γὰρ

ὑπῆρχέ τι ἐν αὐτῷ εἰ μὴ
μόνος ὁ φίλος. εἰσελθόντων
δὲ ἡμῶν, ἑώρακα τράπεζαν
καὶ δύο δίφρους κειμένους.
καὶ ἄρτον πρόσφατον καὶ
λαμπρὸν ὡς χιόνα. καὶ
ἄνθη εὐπρεπῆ. καὶ δύο ἰχ
θύας ὀπτούς. καὶ λάχανα
κάλλιστα. καὶ ἐλαίας καὶ
φοίνικας. καὶ ἅλας. καὶ
καυκάλιον πλῆρες ὕδατος.
καὶ καθισάντων ἡμῶν, λέ
γει μοι. εὐλόγησον ἀδελφὲ
Σεραπίων. κἀγὼ εἶπον. σύγ
χώρησόν μοι πάτερ. καὶ εὐ
θέως λέγει ὁ φίλος. κύριε εὐλό
γησον. καὶ ἐθεασάμην κατὰ πρ

δὲ ἐξ ἰαμ αὐτῶ λωθῆ σαμ ἐκ
τοῦ οὐ(ρα)νοῦ ἐσιτιᾶτο τῆς τρα-
πέζης· καὶ τὸ ὕπνωσαι σῆσ
ἄρτον· καὶ φάγομεν τῶν ἡμῶν,
ἀπὲμ· ἄρτον τέκνον εὐθέμ·
καὶ εὐθέως ἐπληρώθη ἡ τρά-
πεζαν· οὐδέποτε ἀφέραν
θῶν τροφῆς τοιαύτης· οὐ-
δὲ ὕδατος ἐστάσαμεν τοι-
οῦτου· τότε λέγει μοι ὁ ἅ-
γιος· ἀδελφὲ πόθεν
ἀγαπᾶ ὁ θ(εὸ)ς τοὺς δούλους
αὐτοῦ· καθημέραν στὸ ῥ ς
ἰχθὺς ἔπεμπε μοι· καὶ
σήμερον ὁ θ(εὸ)ς διὰ σὲ ἀπέ-
στειλε δύο· οὕτως ἀποστέλ-
λει μοι ὁ θ(εὸ)ς τροφὴν ποικίλην·

τεσσαράκοντα χρόνους ἐπεμό
μην ὄντα τῷ τόπῳ τούτῳ. κ(αὶ)
οὐχ εὕρισκον οὐδὲ ῥίζαν βο
τάνης. πεῖναν καὶ δίψαν ὑ
πέμεινεν ἡ ψυχή μου. ἔφα
γον χοῦν ἀπὸ τῆς γῆς. καὶ
ἔπιον ἐκ τῆς θαλάσσης πι
κρὸν ὕδωρ. καὶ διῆλθον
γυμνὸς καὶ ἀνυπόδετος,
ἕως ὅτου ἐξελύθη τὰ μέλη μου
ἀπὸ τὸ ψύχος. καὶ ἔκαυσεν
ὁ ἥλιος τὰς σάρκας μου. κ(αὶ)
ἤμουν χαμαὶ κείμενος ὡς
σὰν νεκρός. καὶ οἱ δαίμο
νες ἐπολέμουν με ἀθήγμα
ως. περισύροντες καὶ πο
λεμοῦντες. καὶ κατεῖχε

πέμεο θς τοῖς τριάκοντ
χρόνοις· ἀλλ' οὔτε πεθηνεῖον
οὔτε ὄρνεον τεθέαμαι ἐν
τούτῳ τῷ ὄρει· καὶ ἰδοὺ ὁ
μενήκοντα πέντε ἔτη ἔχω
ἐνταῦθα· καὶ οὐχ ἑώρακ(σι)
οἱ ὀφθαλμοί μου τί τῶν
κτισμάτων ζώων ὑπὲρ τῶν
τοὺς τριάκοντα χρόνους,
εἰ μὴ δαίμονας μόνον· τε
λεσθέντων δὲ τῶν τριάκον
τα χρόνων, ἐκέλασεν ὁ
θεὸς τῷ σώματί μου καὶ ἔφυ
σαν τρίχες· ἕως οὗ ἐκαλύ
φθησαν πάντα μου τὰ μέ
λη· καὶ ἀπ' ἐκείνης τῆς ὥ
ρας ἕως τοῦ νῦν, οὐδὲ οἶδα

μονες ἰαχῖσαι πλησίασόν μοι·
οὔτε λιμὸς οὔτε δίψα οὔτε
τέλος· ἀλλ' οὔτε πόρα πόθον ἡ
αθέμησαι· καὶ σήμερον τετε
λέσαι τὸ μάκρον τῆς ζωῆς μου·
καὶ ἀπέστειλέ σε ὁ θεὸς ὅπως ταῖς
ἁγίαις σου χερσὶ κηδεύσῃς
τὸ ταπεινόν μου σῶμα· καὶ
περὶ τὴν ἐπεραπλεῖσαι μοι·
ἀδελφὲ σεραπίων, σύντομω
θῆ μοι ἔτι ὀλίγον· καὶ ἐν ταύ
τῃ τῇ νύκτι τοῦ χωρισμοῦ μου
ποιήσωμεν ἀγρυπνίαν· καὶ
ποιήσαντες τὴν πρώτην ἀρχὴν,
ἐτελέσαμεν ὅλους τοὺς ψαλ
μοὺς τοῦ δαυίδ· καὶ λέγει μοι· ἀ
δελφὲ σεραπίων· ὅταν κηδεύ
σῃς τὸ σῶμά μου, θὲς αὐτὸ

ἐν τούτῳ τῷ σπηλαίῳ· καὶ
φράξας τὸ στόμα τοῦ σπη
λαίου ἐν λίθοις, πορεύου
καὶ μὴ μείνῃς ἐνταῦθα·
ἠρξάμην δὲ ὀδύρεσθαι
καὶ δακρύειν· καὶ λέγω
αὐτῷ· πάτερ· αἴτησαι καὶ ἀγάγῃ
με σὺν σοὶ ὅπου δ᾽ ἂν πορεύῃ.
καὶ λέγει μοι ὁ ἅγιος· ἐν τῇ
ἡμέρᾳ τῆς ἀφροσύνης
μου μὴ κλαῖε· ὁ θεὸς τοῦ οὐρανοῦ ὁ
ὁ δημιουργήσας σε καὶ ἐμφάκας
σε, αὐτὸς διασώσει σε ἐν
ἀφροσύνῃ· καὶ οὐκ ἐν οὐ
τῇ τριίμῳ τῆς ἐλεύσεως σου
ἔσται ἡ ἀναστροφή σου·
ἀλλ᾽ ἀφέστερε ἀπτίων· με

γάλη μοι ἔσται ἡ ἡμέρα αὕ
τη ὑπὲρ πάσας τὰς ἡμέρ(ας)
τῆς ζωῆς μου· σήμερον
καταλιμπάνει ἡ ψυχή μου
τὸ παθητὸν τοῦτο σῶμα·
καὶ ἀπέρχεται εἰς μονὰς
ζωῆς· σήμερον ἀναπαύε
ται τὸ σῶμά μου ἀπὸ τῶν
πολλῶν πόνων καὶ κόπων·
σήμερον παρεμβαλοῦμαι
εἰς τὴν χώραν τῆς ἀναπαύ
σεώς μου· καὶ ταῦτα εἰ
πόντος αὐτοῦ, ἐπλήσθη
τὸ σπήλαιον φωτὸς τηλαυ
γεστέρου ἡλίου· καὶ εὐω
δίας ἀρωμάτων ἐπληρώ
θη τὸ ὄρος ἐκεῖνο· καὶ κρα

τήσας ὁ ἅγιος τῆς χάριτός μου,
ἡ ἐξ ἀπολείας μου οὕτως. σώ-
ζου ἀπὸ τρόμου ἐν ᾧ τῷ θεῷ ἀμ-
ρέσκης μετὰ τοῦ σώματος
τοῦ ἐν σοὶ κατασκηνώσαντος
ἐν τῇ ζωῇ μου. καὶ πάλιν ἐν-
ταῦθα μενέτω μέχρι τῆς κοι-
μήσεως ἀναστάσεως. καὶ σὺ σῶ-
μα ὁ οἶκος τῶν πόνων καὶ
κόπων καὶ ἀναγκῶν σώζου.
σοὶ κύριε τὸ σῶμα μου προστί-
θημι. διὰ γὰρ σὲ ὑπέμεινα
πάθη μάλιν καὶ δίψαν. καὶ ψύχος
καὶ καύσωνα καὶ γυμνότητα.
αὐτὸς ἔνδυσον αὐτὸ ἔνδυμα
δόξης ἐν τῇ φρικτῇ ἡμέρα
τῆς παρουσίας σου. σώζεσθε
οἱ ὀφθαλμοί μου οἱ ἐμοί ...

αἱ νυκτεριναὶ ἀγρυπνίαι· σώ-
ζεσθε οἱ πόδες μου· οἱ κατα-
θλάσαντες ὁλονύκτιον ἀπὸ τῆς
προσευχῆς· σώζεσθε οἱ ἀσκη-
ταὶ οἱ ἐν φάραγξι τῶν ὀρέων
κεκοιμημένοι· σώζου ἡ ἐκκλη-
σία τοῦ θῦ καὶ πᾶσα ἡ οἰκουμένη.
σώζου τὸ ὄρος τοῦτο· καὶ μετὰ
τὸ εἰπεῖν τὸν γέροντα ταῦτα, στρα-
φεὶς ἠσπάσατό με καὶ λέγει· σώ-
ζου καὶ σὺ ἀδελφὲ σεραπίων·
ὁ χς σοι παράσχει τὸν μισθὸν
τοῦ κόπου σου ἐν τῇ ἡμέρᾳ τῆς
παρουσίας αὐτοῦ· καὶ πάλιν λέ-
γει μοι· ἀδελφὲ σεραπίων· ὁρ-
κίζω σε κατὰ τοῦ θῦ· μὴ χαλάσῃς
τι ἐκ τοῦ σώματός μου μέχρι καὶ
μιᾶς τριχός· μὴ δὲ προσάγγισῃς

αὐτῶ ἐν δύμασι ἱματίου· ἀλλ'
αἱ τρίχες αὐτοῦ ἐνέδυσεν αὐτὸ ὁ
θς, ἔσωσεν ἐν ταφίαι· καὶ μετὰ
μάρμησεν ἐν ταῦθα σήμερον· καὶ
ταῦτα ἀπόντος αὐτοῦ καμοῦ
θρηνοῦντος, φωνὴ γέγονεν ἐκ
τοῦ οὐρανοῦ λέγουσα· ἀγάπατέ μοι
τὸ σκ ἄνθος τῆς ἐρήμου· τὸν ἐρ
γάτην τῆς δικαιοσύνης· καὶ
τέλεον χριστιανὸν καὶ δοῦλο
πιστόν· Ζαύρομαρκ· ἀναπαύου
ἐν τῇ χώρᾳ τῆς χαρᾶς καὶ τῆι
κῆς ζωῆς· καὶ εὐθέως λέγομεν οἱ·
κλίνωμεν γόνυ ἀδελφέ· καὶ
κλινάντων ἡμῶν τὰ γόνατα,
ἠκούσαμεν φωνῆς λεγούσης πρὸς
τὸν ἕτερον· ἐκ τῶν ὀνόματός σου ἀγκάλ·
καὶ ταῦτα ἀκούσας ἐγώ, ἀνέστη.

καὶ ἀτενίσας, εἶδον τὴν ψυχὴν
τοῦ ἁγίου βασταζομένην ὑπὸ
τῶν ἀγγέλων καὶ ἐνδεδυμένην
πολλὴν λάκην. καὶ ἀναφερομέ-
νην εἰς τοὺς οὐρανούς. καὶ ἀνεκα-
λύφθη ἡ σκέπη τοῦ οὐρανοῦ. καὶ
εἶδον τὰς φυλὰς τῶν δαιμόνων
ἱσταμένας ἑτοίμους. καὶ ἤκου-
σα φωνῆς λεγούσης· φύγετε οἱ
τοῦ σκότους ἀπὸ τοῦ προσώ-
που τοῦ φωτὸς τῆς δικαιοσύνης.
καὶ ἐνεποδίσθη ἡ ψυχὴ τοῦ ἁγίου
ὡσεὶ μίαν ὥραν. καὶ ἤκουσα
φωνῆς λεγούσης καὶ προτρεπού-
σης τοὺς ἀγγέλους· ἄρατε τὸν κα-
τακρίνοντα τοὺς δαίμονας.
παρελθούσης δὲ τῆς ψυχῆς τοῦ
ἁγίου τὰς φυλὰς τῶν δαιμόνων,
ὡ θεὼς ἐθεασάμην δεξιὰς χεῖρ

ἐκταθείσης ἐκ τοῦ σώματος καὶ
δεξαμένης τὴν ψυχὴν αὐτοῦ.
καὶ οὐκέτι οὐδὲν ἑώρακα.
τῇ δὲ ὥρᾳ τῆς νυκτός· καὶ ποι-
ήσας πᾶσαν τὴν νύκτα προ-
σευχόμενος ἕως πρωΐ· καὶ τὴν
ὑμνῳδίαν τελέσας ἀπὸ μνω
τοῦ σώματος· καὶ φράξας
τὸ στόμα τοῦ σπηλαίου καὶ ἀ-
ξάμενος, κατῆλθον τοῦ ὄρους.
ἱκετεύων καὶ δεόμενος τοῦ
θ(εο)ῦ, τοῦ ἐξελθεῖν τὴν φοβε-
ρὰν ἐκείνην ἔρημον· καὶ περι-
διόμας ἡλίου; δύο οἱ δύο ὅσυ-
χαται ἐκεῖνοι οἱ ὀφθέντες μοι,
πρὸς τὸν αἰμαν ἰωάννην λέ-
γοντες πρός με· ἀληθῶς ἀ-
δελφὲ ἐκήδευσας σήμερον σῶ-
μα, οὗ οὐκ ἔστιν ἄξιος ὁ κόσμος.

ἀμ᾽ ἀρπάσας ὁ ὤν, ὁδοιπορήσωμεν
τὴν νύκτα· ἀνηγέρθη ἐστί· τὴν
γὰρ ἡμέραν οὐ μὴ δυνηθῶσι
περιπατεῖν διὰ τὴν τοῦ ἡλίου
καῦσιν· καὶ ἀμ᾽ ἀρπάσας σὺν ἐπο-
ρεύθημεν αὐτοῖς ἕως πρωΐ· καὶ
χρίζουσί μοι· παραλουθεῖν ἔρημον
καὶ ἄλχουν ὑπὲρ ἡμῶν· οὐ
μακρὰν δὲ γενόμενος αὐτῶν
τῶν, ἀπέμεινας ὅδον καὶ ἴσα-
μεν τῆς θύρας τῆς ἐκκλησίας
τοῦ ἁγίου Ἰακώβου· καὶ ἐκ-
θαμβος γενόμενος, ἐδόξαζον
τὸν θεόν· καὶ ἐμνήσθην τοῦ λόγου
τοῦ ἁγίου Μάρκου ὃν εἶπέ μοι·
ὅτι οὐκ ἐν τῇ τρίτῃ τῆς ἐλά-
σεως σου ἔσται ἡ ἀποστροφή
σου· καὶ ἐπίστευσα καὶ ὅτι ἀσ-
ραγίζω κατὰ ταῦτα διὰ τῶν ἀ

χειρῶν τοῦ ἁγίου μάρκ(ου) καὶ ποιητοῦ
δούλου τοῦ θ(εο)ῦ, ἀποστηλάχθην
ὅπου ἡμῖν καὶ πρότερον. καὶ
ἐδόξασα τὸν φιλάνθρωπον θ(εὸ)ν ἡμῶν
τῶν φωνῶν ὧν δὲ ἀκούσας ὁ ἀβ-
βᾶς ἰωάννης, ἐξῆλθε καὶ λέ-
γει μοι· καλῶς ἦλθες ἀββᾶ βαῖ-
στεραπτίων· καὶ ἀποσελθῶν τῶν
τῆς ἐκκλησίας, διηγησάμην αὐ-
τῷ πάντα. καὶ ἐδόξασε τὸν
θ(εὸ)ν· καὶ εἶπέ μοι· ἀληθῶς ἀ-
δελφὲ, ἐκεῖ μὸς […] πέλαγος χει-
αίσμος· ἡμᾶς δὲ μόνον ὀνόμα-
τι κοσμικὸν χειμάζομεν· ἔργῳ δὲ
οὐ σώζομεν· ὁ δὲ ἀγαθὸς καὶ φι-
λάνθρωπος θ(εὸ)ς, σκεπάσαι ἡμᾶς καὶ
τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν, ἀπὸ
πάντων τῶν τοῦ διαβόλου σκαν-
δάλων. ὅτι ἀγ(αθὸς) καὶ ἐλεήμων ἡμῶν ἀμήν·

τῶν ταπεινῶν μοναχῶν· καὶ
ὁ διηγησάμενος ἡμᾶς ἐστὶ τὸ ὄνομα αὐ-
τοῦ θέλημα· πρεσβείαις τῆς
ἀχράντου θεοτόκου καὶ ἀειπαρθέ-
νου Μαρίας· καὶ πάντων τῶν ἁγί-
ων· ἀμήν:· Τοῦ ὁσίου Δωροθέου

Ὀφείλει ὁ μοναχὸς ὁ μετὰ ἀλη-
θείας προσερχόμενος δου-
λεῦσαι τῷ θεῷ, ἑτοιμάσαι καὶ
τὴν θεοφιλίαν, τὴν ψυχὴν αὐτοῦ
εἰς πειρασμούς. καὶ μὴ ξενίζε-
σθαί ποτε ἢ ταράττεσθαι ἐπὶ
τοῖς συμβαίνουσιν· πιστεύων
ὅτι οὐδὲν ἄνευ τῆς προνοίας
τοῦ θεοῦ γίνεται· ὅπου δὲ θεοῦ πρό-
νοια, πάντως καλόν ἐστι καὶ εἰς
ὠφέλειαν ψυχῆς τὸ γινόμενον·
πάντα γὰρ ὅσα ποιεῖ μεθ' ἡμῶν
ὁ θεός, ὑπὲρ τοῦ συμφέροντος

ποιεῖ· καὶ ἀγαπῶν ἡμᾶς καὶ
φειδόμενος ἡμῶν· καὶ ὀφεί-
λομεν ὡς εἶπεν ὁ ἀπόστολος
ἐν παντὶ εὐχαριστεῖν τῇ ἀγαθό-
τητι αὐτοῦ· καὶ μηδέποτε
ἀθυμεῖν ἢ μικροψυχεῖν ἐπὶ
τοῖς συμβαίνουσιν ἡμῖν· ἀλ-
λὰ δέχεσθαι ἀταράχως τὰ
ἐπερχόμενα μετὰ πάσης εὐ-
φροσύνης καὶ τῆς εἰς θεὸν ἐλ-
πίδος· πεπεισμένοι ὅτι
καθὼς εἴπομεν ὅτι πάντα ὅσα
ποιεῖ μεθ' ἡμῶν ὁ θεὸς, ἀγαθότη-
τι ποιεῖ καὶ ἀγαπῶν ἡμᾶς.
καὶ οὔτε ἐνδέχεται αὐτὰ ἄλλη
καλῶς γενέσθαι, εἰ μὴ οὕτως·
καὶ δέχεσθαι αὐτὰ μετὰ εὐχα-
ριστίας ὡς παρὰ εὐεργέτου καὶ

ἀγαθοῦ δὲ ἀπὸ τούτου κἂν θλίψεις περι
ῶσι· πάντα γὰρ δικαίᾳ κρί
σει γίνεται· καὶ οὐ παραβλέ
πει ὁ θ(εὸ)ς ὁ οὕτως ἐλεήμων, οὐ
δὲ τὴν τυχοῦσαν ἡμῶν θλῖψιν·
ἐὰν γὰρ ταπεινωθῶμεν μόνον τῷ
θ(ε)ῷ μόνον τῷ θ(ε)ῷ καὶ καταδεξώμε(θα)
τὸν πειρασμὸν τῆς θλίψεως
τοῦ πειρασμοῦ μετ' εὐχαριστίας·
καὶ ἀμυνισώμεθα μικρὸν τι,
ἡ κοινὴ θεία τοῦ θ(εο)ῦ ἐξαιρεῖται
ἡμᾶς· ἐὰν δὲ φύγωμεν τὸν
κόπον καὶ κατέλθωμεν εἰς
τὴν ἡδυπάθειαν τοῦ σώμα
τος, τότε φερόμεθα καὶ ἀν
ἀνάγκῃ εἰς τὴν γῆν τῶν ἀλλοτ
ρίων· καὶ δουλεύομεν αὐτοῖς
κἂν μὴ θέλοντες· οὐχ ἐνὶ

ταράττεσθαι ἡμᾶς οὐδὲ ἀ-
κηδιᾶν ἐν τοῖς πειρασμοῖς
καὶ ταῖς θλίψεσιν· ἀλλ' ὑπο-
μένειν καὶ εὐχαριστεῖν· καὶ δέ-
εσθαι τοῦ θεοῦ ἐν ταπεινώσει
διαπαντός, ἵνα ποιήσῃ μετὰ
τῆς ἀσθενείας ἡμῶν ἔλεος·
καὶ σκεπάσῃ ἡμᾶς ἀπὸ παντὸς
πειρασμοῦ:· τοῦ αὐτοῦ:·

Ἐμπαθεῖς ὄντες, οὐκ ὀφείλο-
μεν ὅλως πιστεύειν τῇ ἰδίᾳ
καρδίᾳ· σκαμβὸς γὰρ κανὼν ὤν,
καὶ τὰ ὀρθὰ, σκαμβὰ ποιεῖ:·
ἐὰν ποιήσῃ τις πρᾶγμα κατὰ
θεόν, πάντως ἔρχεται αὐτῷ πει-
ρασμός· παντὶ γὰρ ἀγαθῷ,
ἢ προηγεῖται· ἢ ἐπακολουθεῖ
αὐτῷ, πειρασμός· οὔτε δὲ με-
ιαιομεαι τὸ κατὰ θεὸν γινόμε-

μομ, ἢ μὴ δοκιμασθῇ διὰ πει-
ρασμοῦ. πῶς ἐὰν συμβαίνῃ μοι
πρᾶγμα, ἢ Δέως ἔχω τινὰ μὴ
τοῦ πλησιὸμ καὶ ἀσυστροφῆσαι,
ἢ στοιχῆσαι τῇ ἰδίᾳ γνώμῃ καὶ
ἀσυστροφῆσαι. καλὸν ἐστὶν ἐν
ἑκάστῳ πράγματι πέρα μικρὸν τις
χέρας ἐπιτηδεύαμε αὐτοῖς. οὐ
γὰρ συμφέρει τινὶ κατὰ πάντα
ἀναπαῆμαι. ἐὰν πάν τι πρᾶγμα
συμβαίνομ τί μοι, οὐδέποτε ἡ
θέλησιν ἀφίημι φρονήσεως πέρα
δραμεῖν ἐμαυτῷ. ἀλλὰ ἂς ποιῶ
μικρὸν τὴν δύναμίν μου εἰς
ἔστι δήποτε. καὶ ἀφῶ τὸ λοιπὸν
τῷ θεῷ. μὴ δὲ ἐὰν γελοίωτο κα-
κόν. συμβαίνῃ μοι γὰρ ὅτι ἐξ ἀρχῆς
ποιεῖ τις τὸ κακὸν μετὰ γέλωτος
ὕστερον δὲ καὶ μὴ θέλων, πει-

πνῦται ἐπ' αὐτό· ἀδύνατον
τὸν μὲ αἰν ὀργισθῆναί τινα
κατ' αὐτοῦ πλησίον, εἰ μὴ πρῶ
τον ἐπαρθῇ ἡ καρδία αὐτοῦ
κατ' αὐτοῦ καὶ ἐξουδενώσῃ
αὐτόν· καὶ ἀρχῇ ἑαυτὸν ὑπερε
χοντα αὐτοῦ· ὁ μὴ ἔχων
ἴδιον θέλημα, πάντοτε τὸ
ἴδιον ποιεῖ· ἐπειδὴ γὰρ ἴδιον
οὐκ ἔχει, ὅτι ἂν γένηται, ἀ
ναπαύει αὐτόν· καὶ εὑρίσκε
ται πάντοτε τὸ ἴδιον ποιῶν·
οὐ γὰρ θέλει τὰ πράγματα
γίνεσθαι ὡς θέλει· ἀλλὰ θέ
λει ὡς ἂν γίνηται γίνεσθαι· λέ
γουσιν οἱ πατέρες· ὅτι τὸ καθίσαι
εἰς τὸ κελλίον, ἥμισύ ἐστι· καὶ
τὸ προσαναφέρειν γέρουσιν, ἥμι

σὺ ἐστί· τοῦτο σημαίνει ὁ λόγος.
ὅτι καὶ ἐν τῷ κελλίῳ καὶ ἔξω
θεν τοῦ κελλίου, ὁμοίως μὴ τεῖ
χέρειαι· καὶ τοὺς δὲ μὴ αἰτίμαι,
διατί ὀφείλει ἡσυχάζειν καθ' ἑ
αυτόν· καὶ διατί ὀφείλει παρα
λαλεῖν περὶ αὐτὸν ἢ ἀδελφοῖς.
ἐὰν γὰρ μή φησί τις περὶ τὸν σκο
πὸν τοῦτον, σπουδάζει ποιεῖν
ὥσ εἰ ἀπομοιαπρές· καὶ ὅταν μὴ
κάθηται ἐν τῷ κελλίῳ, ἀλλὰ·
μελετᾷ· ποιεῖ μικρὸν ἔργον
χεῖρον· φροντίζει κατὰ δύ
